# Ε΄.

Χρυσόβουλλος λόγος ὑπὲρ τοῦ πρωτοασηκρῆτις Ἐπιφανίου, συνταχθεὶς ὑπὸ Ψελλοῦ.

| Οὐ θαυμαστὸν εἴ τις τὸν μέγαν θεώμενος ἥλιον ἀπείρῳ φωτὶ φ. 152ᵛ. καταλάμποντα καὶ ἐφ' ὑψηλοῦ διϊππεύοντα, καὶ ἀπὸ τῆς οὐρανίας ἄντυγος πᾶσαν καταπυρσεύοντα γῆν, τῷ τε ἐναντίῳ καὶ διπλῷ, τῆς ἀνατολῆς μέρος ἅπαν καὶ τῆς δύσεως, βοράν τε καὶ νότον καταφαιδρύνοντα, τῆς κινήσεως ἄγαταί τε καὶ τέθηπε, καὶ ὅλαις αἰσθήσεσι τοῦ φωτὸς ἀπηώρηται, καὶ τιμᾷ ταῖς τῶν λόγων ὑπεροχαῖς· ὃ γὰρ ὁρᾷ, τοῦτο ἐκπλήττεται, καὶ ὃ πέπονθε, τῇ γλώττῃ κοσμεῖ, καὶ μαρτυροῦσαν ἔχων τῷ μεγαλείῳ τὴν αἴσθησιν, ὅλῳ τῷ ψυχικῷ πνεύματι ἐπὶ τὸ θαῦμα καὶ τὸ ἐγκώμιον διεγείρεται.

Οὐδ' εἴ τις τοίνυν βασιλέα ὁρῶν πορφυρίδι καὶ μαργαρίταις συναποστίλβοντα, καὶ ἀπὸ σκήπτρου ὅ φασι θεμιστεύοντα, καὶ τῇ χρυσῇ τῶν λόγων σειρᾷ ὥς περ ἐξ οὐρανίας ἀκρότητος πᾶσαν ἀπαιωροῦντα φύσιν καὶ δύναμιν, εἶτα ὑποπτήσσει καὶ σέβεται, καινόν τι ποιεῖ καὶ ἀσύνηθες ταῖς τῶν πολλῶν διαθέσεσι· τοὐναντίον μὲν οὖν ἐκεῖνο θαύματος ἄξιον, εἴ τις τὸν ἐπ' ἐλάττονος σχήματος τοῦ μείζονος καὶ βασιλικοῦ ἀξιῶν, ὡς αὐτὸ τοῦτο ὁρῶν ὃ βούλεται καὶ τὸ μέλλον ὡς ἐνεστὼς, ἴσα τοῖς βασιλεῦσιν ἄγει τὸν τέως μετὰ τῶν ἄλλων ταττόμενον, καὶ διευλαβεῖται καὶ ὑποστέλλεται καὶ τἄλλα ποιεῖ οἷς ὑπηκόου σχῆμα χαρακτηρίζεται.

Τοιοῦτος περὶ τὸ κράτος ἡμῶν ὁ μάγιστρος Ἐπιφάνιος καὶ πρωτοασηκρῆτις ὦπται καὶ δεδοκίμασται, καὶ λυχναῖόν τι φῶς ἴσως ἐν ἡμῖν ἰδὼν, ἡλιακὴν τοῦτο φρυκτωρίαν ἐτόπασε, καὶ τὴν